τὰν ἐχθίσταν θεράπναν Ἑλένας,
ἔνθ᾽ ἀντάσω Μενέλᾳ δούλα,
τῷ τᾶς Τροίας πορθητᾷ.
τὰν Πηνειοῦ σεμνὰν χώραν, antistr.
κρηπῖδ᾽ Οὐλύμπου καλλίσταν,
ὄλβῳ βρίθειν φάμαν ἤκουσ᾽
εὐθαλεῖ τ᾽ εὐκαρπείᾳ·
τάδε δεύτερά μοι μετὰ τὰν ἱερὰν
Θησέως ζαθέαν ἐλθεῖν χώραν.
καὶ τὰν Αἰτναίαν Ἡφαίστου
Φοινίκας ἀντήρη χώραν,
Σικελῶν ὀρέων ματέρ᾽, ἀκούω
καρύσσεσθαι στεφάνοις ἀρετᾶς.
τάν τ᾽ ἀγχιστεύουσαν γᾶν
Ἰονίῳ ναύτα πόντῳ,
ἃν ὑγραίνει καλλιστεύων
ὁ ξανθὰν χαίταν πυρσαίνων
Κρᾶθις ζαθέαις παγαῖσι τρέφων
εὔανδρόν τ᾽ ὀλβίζων γᾶν.
καὶ μὴν Δαναῶν ὅδ᾽ ἀπὸ στρατιᾶς
κῆρυξ νεοχμῶν μύθων ταμίας
στείχει ταχύπουν ἴχνος ἐξανύων.
τί φέρει; τί λέγει; δοῦλαι γὰρ δὴ
Δωρίδος ἐσμὲν χθονὸς ἤδη.

ΤΑ. Ἑκάβη, πυκνὰς γὰρ οἶσθά μ᾽ εἰς Τροίαν ὁδοὺς
ἐλθόντα κήρυκ᾽ ἐξ Ἀχαϊκοῦ στρατοῦ,
ἐγνωσμένος δὲ καὶ πάροιθέ σοι, γύναι,
Ταλθύβιος ἥκω καινὸν ἀγγελῶν λόγον.

ΕΚ. τόδε τόδε, φίλαι γυναῖκες, ὃ φόβος ἦν πάλαι.

ΤΑ. ἤδη κεκλήρωσθ᾽, εἰ τόδ᾽ ἦν ὑμῖν φόβος.

216. ὄλβον *AB* 217. εὐκαρπείᾳ] Seidlerus, εὐκαρπίᾳ libri. 219. ἐλθεῖν om. *AB* 223. καρύσσεσθε B κηρύσσεσθε C κηρύσσεσθαι *AB* 225. ναῦται *AB* 226. ὑδραίνει *AB* 228. κράνθις *AB* πηγαῖσι libri. 232—34. mutilatos exhibent *AB* sic:
ἐξανύων
δοῦλαι γὰρ δη
χθονὸς ἤδη
238. κοινόν *AB* 239. γυναῖκες BCb τρῳάδες *AB* 240. εἰς τόδ᾽ BC